Τοῦ αὐτοῦ εἰς τοὺς ἀεὶ νοσοῦντας.

Τοὺς καταλείψοντας γλυκερὸν φάος οὐκ ἔτι θρηνῶ,
Τοὺς δ' ἐπὶ προσδοκίῃ ζῶντας ἀεὶ θανάτου.

ΠΑΛΛΑΔΑ.

Οὐκ ἀλόγως ἐν λιζύθοις δύναμίν τινα θείαν
Εἶναι ἔφην. χθὲς γοῦν λίζυθον ἐν κερνίῳ
Ἠπάλῳ κάμνοντι τεταρταίῳ περιῆψα,
Καὶ γέγονεν ταχέως οἷα κρότων ὑγιής.

Τοῦ αὐτοῦ.

Κονδίτου μοι δεῖ. τὸ δὲ κονδίτου πόθεν ἔχει
Τοὔνομα; τῆς φωνῆς ἐστὶ γὰρ ἀλλότριον
Τῆς τῶν ἑλλήνων. εἰ ῥωμαϊκῶς δὲ καλεῖται,
Αὐτὸν ἂν εἰδείης, ῥωμαϊκώτατος ὤν.
Σκεύασον οὖν μοι τοῦτο. τὸ γὰρ κατέχον με νόσημα
Τοῦ στομάχου, χρῄζειν τοῦδε λέγουσι ποτοῦ.

---

ΕΙΣ ΙΧΘΥΑΣ, κεφ. μ.

ΑΝΤΙΠΑΤΡΟΥ θετταλοῦ.

Πούλυπος εἰναλίῃ ποτ' ἐπὶ προβλῆτι τανυσθείς,
Ἠελίῳ ψύχειν πολλὸν ἀνῆκε πόδα.
Οὔπω δ' ἦν πέτρῃ ἴκελος χρόα· τοὔνεκα καί μιν
Αἰετὸς ἐκ νεφέων ὀξὺς ἔμαρψεν ἰδών.
Πλοχμοῖς δ' εἱλιχθεὶς πέσεν εἰς ἅλα δύσμορος. ἦ ῥα
Ἄμφω καὶ θήρης ἤμβροτε, καὶ βιότου.

ΑΝΤΙΦΙΛΟΥ βυζαντίου.

Αἰγιαλοῦ τενάγεσσιν ὑποπλώοντα λαθραίῃ
Εἰρεσίῃ φαίδων ἔσιδε πουλυπόδην.

Μάρψαι